eul_wid: iso-aa

*Καλλίμαχος ὁ Κυρηναῖος* · Callimachus of Cyrene the Poet and Scholar

# Fragments of Uncertain Placement

*Ἀποσπάσματα Ἀδήλου Θέσεως*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινὴ λογοτεχνική* Literary Koine
**Domain:** *Φιλοσοφία* Philosophy
**Format:** *Πραγματεία* Treatise

725 FRAGMENTA INCERTAE SEDIS ἐδείμαμεν ἄστεα μορτοί γράμματα δ’ οὐχ εἵλισσεν ἀπόκρυφα αἴγιθος ἀμφιγυήεις Γαῦδος ὀλίγην νησῖδα Καλυψοῦς Μοῦσαί νιν ἑοῖς ἐπὶ τυννὸν ἔθεντο 〈γούνασι〉 τοι κήδεα λέξον ἑά περσιητ’ ἕνεκεν πένθος ἀπωμόσατ[ο αἰεὶ τοῖς μικκοῖς μικκὰ διδοῦσι θεοί μύθου δὲ πασαίμην ἥδιον οὐχ ὧδ’ ἐμόγησαν ἐλπίδες ὥστ’ ἐχθρῶν συμμαχίην καλέσαι ἀρχόμενοι μανίην ὀξυτάτην ἔχομεν οἱ δὲ τὸν αἰνοτάλαντα κατέστεψαν ἥδεα μᾶλλον ἔγωγε μή με τὸν ἐν Δωδῶνι λέγοι μόνον οὕνεκα χαλκόν ἤγειρον τέκνα σοὶ μὲν Βάκαλες ὁ δ’ ἀείδων Μαλόες ἦλθε χορός δημεχθέα Χέλλωνα κακόκνημόν τε Κόμητα ἀλλ’ ἀντὶ βρεφέων πολιὸν νέον εἴρενα μέσσον Ἀτράκιον δήπειτα λυκοσπάδα πῶλον ἐλαύνει οἷοί τε βιοπλανὲς ἀγρὸν ἀπ’ ἀγροῦ φοιτῶσιν γρήϊον εἶδος ἔχουσα μεῖον ἐδάκρυσεν Τρωΐλος ἢ Πρίαμος Φοῖβος Ὑπερβορέοισιν ὄνων ἐπιτέλλεται ἱροῖς εἴ σε Προμηθεύς ἔπλασε, καὶ πηλοῦ μὴ ’ξ ἑτέρου γέγονας ἄκαπνα γὰρ αἰὲν ἀοιδοί θύομεν Νισαίης ἀγλῖθες ἀπ’ Ὀργάδος ΛΑΟΙ Δευκαλίωνος ὅσοι γενόμεσθα κούρη δὲ παρείατο δακρυχέουσα ἀρθμὸν δ’ ἀμφοτέροις καὶ φιλίην ἔταμες τῷ περὶ δινήεντ’ Ἀκμονίδην ἔβαλεν ἀλλ’ ἐπακουούς οὐκ ἔσχεν φοιτίζειν ἀγαθοὶ πολλάκις ἠίθεοι εἰς ὀάρους ἐθέλουσιν ἣν μο 〈ύ〉 νη ῥύετο παῖς ἀμαλή αἱ δὲ πάγον φορέουσιν ἔπ’ Ἄρεος ἡ μὲν ἀπ’ Ἀσσυρίων ἡμεδαπὴ στρατιή ἥμισυ μὲν Πέρσαι, ἥμισυ δ’ Ἀσσύριοι φιλαδελφίων ἄτμενος ἦα δόμων ὅσον βλωμοῦ πίονος ἠράσατο ἐξ ἁλὸς οὐ δίκην ἀνέρα Βουχέτιον ἕλκειν ἦ ῥ’ ὅτι τὼς ὁ γέγειος ἔχει λόγος τὴν δὲ γενὴν οὐκ οἶδα καὶ γλαρίδες σταφύλη τε καθιεμένη τε μολυβδίς Γραικοὶ καὶ γαίης ἡμετέρης ἀδαεῖς ξεῖνος Ἐχιδναῖον νέρθεν ἄγων δάκετον τῶν ἔτι σοὶ δεκάφυια φάτο ζωάγρια τείσειν καὶ Δελφὸς ἀνὴρ ἐμοὶ ἱεροεργός ἐς δάϊν ἐρχομενάων ἀλλὰ θεῆς ἥτις με διάκτορον ἔλλαχε Παλλάς εἰ δέ ποτε προφέροιντο διάσματα, φάρεος ἀρχήν δύπται δ’ ἐξ ἁλὸς ἐρχόμενοι ἔνδιοι καύηκες τὸ δ’ ἐκ μέλαν εἶαρ ἔδαπτεν Εἰνατίην ὁμόδελφυν ἐπ’ ὠδίνεσσιν ἰδοῦσα ἐλαχὺν δόμον οὐδὲ βοὴ κήρυκος ἐλίνυσεν τοὺς αὐτῷ σκοτίους ἐμπελάτειρα καὶ ἔτεκε γυνή ὅν τε μάλιστα βοῶν ποθέουσιν ἐχῖνοι ὁ δ’ ἠλεὸς οὔτ’ ἐπὶ σίττην βλέψας ἠλεὰ μὲν ῥέξας, ἐχθρὰ δὲ πεισόμενε τὸν οὐκ ἔπλησε φέρουσα μήτηρ οὓς ὤδινε μῆνας χολῇ δ’ ἴσα γέντα πάσαιο εἰ γὰρ ἐπιθήσει πάντα ἐμὴ κίβισις τῷ ἴκελον τὸ γράμμα τὸ Κώϊον πουλὺ θαλασσαίων μυνδότεροι νεπόδων καί ῥα παρὰ σκαιοῖο βραχίονος ἔμπλεον ὄλπιν ὄφρα σε πλειοτέρῃ δεῦρο δέχωμ’ τέρπνιστοι δὲ τοκεῦσι τόθ’ υἱέες Μουσέων δ’ οὐ μάλα φιδὸς ἐγὼ φιαρὴ τῆμος ἄνεσχεν ἕως χύτλων ἀντιάσαντες τοῦ 〈〉 μεθυπλῆγος φροίμιον Ἀρχιλόχου κρήνη λευκὸν ὕδωρ ἀνέβαλλεν ὑδάτινον καίρωμα 〈–〉 ὑμένεσσιν ὁμοῖον θηλύτατον πεδίον ἔχοιμί

τι παιδὸς ἐφολκόν ὃ πρὸ μιῆς ὥρης θηρίον οὐ λέγεται καὶ γόνος αἰζηῶν ἔγραε κηδεμόνα Βριλησσοῦ λαγόνεσσιν ὁμούριον ἐκτίσσαντο καὶ κυάμων ἄπο χεῖρας ἔχειν, ἀνιῶντος ἐδεστοῦ, κἠγώ, Πυθαγόρης ὡς ἐκέλευε, λέγω Τόν με παλαιστρίταν ὀμόσας θεὸν ἑπτάκις φιλήσειν ἀφάρωτος οἷον γυνή νυμφίε Δημοφόων, ἄδικε ξένε εἴτε μιν Ἀργείων χρῆν με καλεῖν ἀάτην τόξού σφεων τις ἄριστα Κυδωνίου γρῆές ἐμεν κορεης δ' οὐκ αἴτιος ἐς δάϊν ὁπλισμὸν ἵππιον Ἄργος ἔχει ἡδομένη νεκάδεσσιν ἐπισκυρῶν πολέμοιο αἴθε γὰρ ὦ κούροισιν ἐπ' ὄθματα λίχνα φέροντες, Ἐρχίος ὡς ὑμῖν ὥρισε παιδοφιλεῖν, ὧδε νέων ἐρόωτε· πόλιν κ' εὔανδρον ἔχοιτε ἀρότας κύματος Ἀονίου ὠλόψατο χαίτας ὁ δὴ μήκωνα πατεῖται οἱ δ' ὥστ' ἐξ ὀχεῆς ὄφις αἰόλος αὐχέν' ἀναύχην εἰ θεὸν οἶσθα, ἴσθ' ὅτι καὶ ῥέξαι δαίμονι πᾶν δυνατόν ἑπτὰ σοφοὶ χαίροιτε—τὸν ὄγδοον, ὥστε Κόροιβον, οὐ συναριθμέομεν— πάλαι δ' ἔτι Θεσσαλὸς ἀνήρ ῥυστάζει φθιμένων ἀμφὶ τάφον φονέας πυρὶ δεῖπνον τεθναίην ὅτ' ἐκεῖνον ἀποπνεύσαντα πυθοίμην χὴ Παλλάς, Δελφοί νιν ὅθ' ἱδρύοντο Προναίην μέσφα Καλαυρείης ἦλθεν ἐς ἀντίδοσιν θηρὸς ἀερτάζων δέρμα κατωμάδιον ἀντὶ γὰρ ἐκλήθης Ἴμβρασε Παρθενίου ἐν Δίῃ· τὸ γὰρ ἔσκε παλαίτερον οὔνομα Νάξῳ δέσποιναι Λιβύης ἡρωΐδες, αἳ Νασαμώνων αὖλιν καὶ δολιχὰς θῖνας ἐπιβλέπετε, μητέρα μοι ζώουσαν ὀφέλλετε σκέρβολα μυθήσαντο νόθαι δ' ἤνθησαν ἀοιδαί ἵν' ἐτρίψαντο μυσωτόν γογγύλος ἐστὶ λίθος μὴ σύ γε, Θειόγενες, κόψας χέρα Καλλικόωντος; κάρτ' ἀγαθὴ κικυμωίς ὅδ' αὖθις παρὰ φθόϊας Καλλιχόρῳ ἐπὶ φρητὶ καθέζεο παιδὸς ἄπυστος ἀμάρτυρον οὐδὲν ἀείδω Ἰηπύγων ἔγχος ἀπωσάμενοι πάντες ἀφ' Ἡρακλῆος ἐτήτυμον ἔσσα κώμου, ἔξοχα δ' ἐν πεδίοις οἳ πόλιν ᾠκίσατε 〈....〉 Ἰταλῶν Ῥήγιον ἄστυ λιπὼν Ἰοκάστεω Αἰολίδαο ἀβάλε μηδ' ἀβόλησα ἄγνωτον μηδὲν ἔχοιμι καλόν ἔσκεν ὅτ' ἄζωστος χἀτερόπορπος ἔτι εἰμὶ τέρας Καλυδῶνος, ἄγω δ' Αἰτωλὸν Ἄρηα ἔζεσθαι θερμότατον ῥιζοῦχε Ποσειδῶν ἠβαιὴν οὔ τι κατὰ πρόφασιν τῶν οὐκ ἀγαθῶν ἐρυσίπτολιν τοίων ἀεί ἄνωγε δὲ πορθμέα νεκρῶν μέσον ἐπὶ ναύταις κρηνέων τ' Εὐρώπη μισγομένων ἑκατόν ἧσεν ἐκδοὺς σάμβαλον αὐλείου Μουσέων κενὸς ἀνὴρ ἀτέει οὔλου μῆτερ Ἄρηος ὁ δ' ἐκ Λοκρῶν τείχεος Ἰταλικοῦ παρῆν ἀμύντωρ μὴ ὀφέλετ' ἀλλήλοισιν ἐπὶ πλέον ὄμματα δῦναι χαλεπὴ μῆνις ἐπιχθονίων ἵλαθί μοι φαλαρῖτι, πυλαιμάχε ἵππους καιετάεντος ἀπ' Εὐρώταο κομίσσαι νόμον δ' ἤειδεν Ἄρηος αἱ νῆσαι ἁλιδύουσαι αἱ δὲ βοοκρήμνοιο παρ' ἀγκύλον ἴχνος Ἀράτθου ῥάμφεϊ καθνώδει τόργος ἔκοπτε νέκυν ἂψ ἐπὶ Θερμώδοντος ὁδεύετον ἔστιν μοι Μάγνης ἐννεάμυκλος ὄνος μέσσαβα βοῦς ὑποδύς τὴν μὲν ὅ γ' ἐσπέρμηνεν Ἐρινύι Τιλφωσαίῃ θιβρῆς Κύπριδος ἁρμονίης καὶ τριτάτη Περσῆος ἐπώνυμος, ἧς ὀρόδαμνον Αἰγύπτῳ κατέπηξεν κηκάδι σὺν γλώσσῃ ἀμφί τε κεβλήν εἰρμένος ἀγλίθων οὖλον ἔχει στέφανον ἐν δὲ θεοῖσιν ἐπὶ φλογὶ καιέμεν ὄμπας ἑρπετὰ τῶν αἰεὶ τετρίφαται λοφιαί Ἐργῖνος Κλυμένου ἔξοχος ἐν σταδίῳ ὃς 〈 〉 Ἰταλὴν ἐφράσαθ' ἁρμονίην πτέρνῃ θ' ἵππος ἐλαυνόμενος αὐτώρης ὅτε τοῖσιν ἐπέφραδε Κολχίδος ἐκ καλάμης ἢ ὑπὲρ αὐσταλέον Χαρίτων λόφον δωδεκάκις περὶ δίφρον ἐπήγαγεν ὄθματα δίφρου ] . ἕδρανον Ἑλλ . [ Τ]μαρίοις [ ζορκός τοι, φίλε κοῦρε, Λιβυστίδος αὐτίκα δώσω πέντε νεοσμήκτους ἄστριας τὸ δὲ σκύλος ἀνδρὶ καλύπτρη γιγνόμενον, νιφετοῦ καὶ βελέων ἔρυμα ὑπεὶρ ἅλα κεῖνος ἐνάσθη, Ἀλκαθόου τίς ἄπυστος νηφάλιαι καὶ τῇσιν ἀεὶ μελιηδέας ὄμπας λῄτειραι καίειν ἔλλαχον Ἡσυχίδες τί δάκρυον εὗδον ἐγείρεις; ὡς τὴν ἀσπίδα ατον ἑλών (?) εἴ τί φημι ἄμωρος ἐρημώθη δύνατο ἐν πείρᾳ δαίμων, τῇ κόλποισιν ἐπιπτύουσι γυναῖκες ἐπὶ τρύγα δ' εἶχεν ἐδωδῇ Πὰν ὁ Μαλειήτης τρύπανον αἰπολικόν ἰύζων δ' ἀν' ὄρος θήκατο μὴ εἰς αἷμα πιεῖν μύταλον ἀεὶ δ' ἔχον ἔντομα σηκοί πιπρήσκει δ' ὁ καλὸς πάντα πρὸς ἀργύριον ἡ δ' ἔτι καὶ λίην ἀριδ[ά]κρυος δέδαεν δὲ λαχαινέμεν ἔργα σιδήρου εἰς Ἀσίνην Ἅλυκόν τε καὶ ἂμ πόλιν Ἑρμιονήων ἔνθ' ἀνέμων μεγάλων κῦμα διωλύγιον κουφοτέρως τότε φῶτα διαθλίβουσιν ἀνῖαι, ἐκ δὲ τριηκόντων μοῖραν ἀφεῖλε μίαν, ἢ φίλον ἢ ὅτ' ἐς ἄνδρα συνέμπορον ἢ ὅτε κωφαῖς ἄλγεα μαψαύραις ἔσχατον ἐξερύγῃ ὁ δρόμος ἱερὸς οὗτος Ἀνούβιδος Καλλίστη τὸ πάροιθε, τὸ δ' ὕστερον οὔνομα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Θήρη, μήτηρ εὐίππου πατρίδος ἡμετέρης θεῷ τ’ ἀλάλαγμα νόμαιον δοῦναι ἵν’ ἀμαζόνες ἄνδρες ἔασιν πτωχῶν οὐλὰς ἀεὶ κενεή καὶ ὡς λύκος ὠρυοίμην

Eulogikon public reading copy · View original HTML at eulogikon.org